κυρίῳ ἡμέραν καθ' ἡμέραν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐν ὀργάνοις
τῷ κυρίῳ. [22]καὶ ἐλάλησεν Εζεκιας ἐπὶ πᾶσαν καρδίαν τῶν Λευιτῶν 22
καὶ τῶν συνιόντων σύνεσιν ἀγαθὴν τῷ κυρίῳ· καὶ συνετέλεσαν
τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας θύοντες θυσίας σωτηρίου
καὶ ἐξομολογούμενοι τῷ κυρίῳ θεῷ τῶν πατέρων αὐτῶν. [23]καὶ 23
ἐβουλεύσατο ἡ ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας ἄλλας· καὶ
ἐποίησαν ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ. [24]ὅτι Εζεκιας ἀπήρξατο τῷ 24
Ιουδα τῇ ἐκκλησίᾳ μόσχους χιλίους καὶ ἑπτακισχίλια πρόβατα, καὶ
οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χιλίους καὶ πρόβατα δέκα
χιλιάδας, καὶ τὰ ἅγια τῶν ἱερέων εἰς πλῆθος. [25]καὶ ηὐφράνθη πᾶσα 25
ἡ ἐκκλησία, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶσα ἡ ἐκκλησία Ιουδα
καὶ οἱ εὑρεθέντες ἐξ Ισραηλ καὶ οἱ προσήλυτοι οἱ ἐλθόντες ἀπὸ
γῆς Ισραηλ καὶ οἱ κατοικοῦντες ἐν Ιουδα. [26]καὶ ἐγένετο εὐφρο- 26
σύνη μεγάλη ἐν Ιερουσαλημ· ἀπὸ ἡμερῶν Σαλωμων υἱοῦ Δαυιδ
βασιλέως Ισραηλ οὐκ ἐγένετο τοιαύτη ἑορτὴ ἐν Ιερουσαλημ. [27]καὶ 27
ἀνέστησαν οἱ ἱερεῖς οἱ Λευῖται καὶ ηὐλόγησαν τὸν λαόν· καὶ ἐπ-
ηκούσθη ἡ φωνὴ αὐτῶν, καὶ ἦλθεν ἡ προσευχὴ αὐτῶν εἰς τὸ κατ-
οικητήριον τὸ ἅγιον αὐτοῦ εἰς τὸν οὐρανόν.
[1]Καὶ ὡς συνετελέσθη πάντα ταῦτα, ἐξῆλθεν πᾶς Ισραηλ οἱ εὑρε- 31
θέντες ἐν πόλεσιν Ιουδα καὶ συνέτριψαν τὰς στήλας καὶ ἐξέκοψαν
τὰ ἄλση καὶ κατέσπασαν τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης
τῆς Ιουδαίας καὶ Βενιαμιν καὶ ἐξ Εφραιμ καὶ ἀπὸ Μανασση ἕως
εἰς τέλος, καὶ ἐπέστρεψαν πᾶς Ισραηλ ἕκαστος εἰς τὴν κληρονο-
μίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις αὐτῶν. [2]καὶ ἔταξεν Εζεκιας τὰς 2
ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευιτῶν καὶ τὰς ἐφημερίας ἑκάστου
κατὰ τὴν ἑαυτοῦ λειτουργίαν τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις εἰς
τὴν ὁλοκαύτωσιν καὶ εἰς τὴν θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν καὶ
ἐξομολογεῖσθαι καὶ λειτουργεῖν ἐν ταῖς πύλαις ἐν ταῖς αὐλαῖς οἴκου
κυρίου. [3]καὶ μερὶς τοῦ βασιλέως ἐκ τῶν ὑπαρχόντων αὐτοῦ εἰς 3
τὰς ὁλοκαυτώσεις τὴν πρωινὴν καὶ τὴν δειλινὴν καὶ ὁλοκαυτώσεις
εἰς σάββατα καὶ εἰς τὰς νουμηνίας καὶ εἰς τὰς ἑορτὰς τὰς γεγραμ-
μένας ἐν τῷ νόμῳ κυρίου. [4]καὶ εἶπεν τῷ λαῷ τοῖς κατοικοῦσιν 4
ἐν Ιερουσαλημ δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν Λευιτῶν,
ὅπως κατισχύσωσιν ἐν τῇ λειτουργίᾳ οἴκου κυρίου. [5]καὶ ὡς προσ- 5
έταξεν τὸν λόγον, ἐπλεόνασαν οἱ υἱοὶ Ισραηλ ἀπαρχὴν σίτου καὶ
οἴνου καὶ ἐλαίου καὶ μέλιτος καὶ πᾶν γένημα ἀγροῦ, καὶ ἐπιδέκατα
πάντα εἰς πλῆθος ἤνεγκαν [6]οἱ υἱοὶ Ισραηλ καὶ Ιουδα. καὶ οἱ κατοι- 6

22 τω ult. > A(†) || 25 ελθοντες] pr. εισ B† | εν] απο B† || 26 απο των ημ. του σαλ. A† || 27 οι 2°] pr. και A

31 1 εξεκοψαν] εξ > B† | της ιουδ.] γης ιουδ. B†, της > A† | εξ > B† | επεστρεψεν A || 2 εν ταις πυλαις > A(†) || 4 ειπαν B || 5 επλεον. οι υιοι] επλεονασεν B† | εις πληθος/ηνεγκαν] tr. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/911 UNIVERSITÄT LEIPZIG